2,4ab μεγαλύνω ποίημά μου, οἰκοδόμησά μοι οιυκους. 2,4a "ἐμοῦ" τοῦ "ἀνθρώπου" "ποίημα ἐμεγάλυνα". ἐμὸν "ποίημά" ἐστιν τὸ περὶ ου μέλλω εἰπεῖν· "ἀνθρώπινόν" ἐστιν θέλημα. πάλιν ὁμοίως· εἰ "ἀνθρώπινον" θέλημα ου τω λαμβά νεις ὡς διδόμενον "ἀνθρώπῳ" θεόθεν, ουτω λέγεται ἐπαι νετῶς "ποίημα" τοῦ "ἀνθρώπου", οὐ θηρίου "ποίημα", οὐ κτήνους, οὐκ ἐξηγριωμένου τινός, οὐ δαίμονος. ἐὰν δὲ πάλιν τὰ "ἀνθρώπινα" οι ον τὴν "κτῆσιν", τὴν "φυτείαν" τῶν "ἀμπελώνων", τὴν τῶν "οικων" "οἰκοδομὴν" αυλλως ἀκούεις ω δε τὸ "ἀνθρώπου" θέλημα. 2,4b οἰκοδόμησά μοι οιυκους. ἰδίωμά ἐστιν τῇ Σύρων φωνῇ τὸ “ουτως ἐλάλησάν μοι”, “ἐσπούδασάν μοι”. καὶ εἰ μὲν θέλεις "οικους" ει ναι τὰς ἐπαινετὰς 36 πράξεις, ἑκάστη "οι κός" ἐστιν τοῦ ευχοντος. οἱ τοὺς Ἰησοῦ "λόγους ἀκούσαντες καὶ ποιήσαντες" "ἐπὶ τὴν πέτραν οἰκοδομοῦσιν τοὺς θεμελίους". καὶ ἐπειδὴ ἡ καθόλου ἀρετὴ μία ἐστίν, ὁ ταύτην σπουδάζων ε να "οικον οἰκοδομεῖ ἐπὶ τὴν πέτραν" "καταβαλλόμενος" αὐτῆς τὴν "οἰκοδομήν", τὸν ἀρραγῆ τοῦ θεοῦ λόγον, τὸν Χριστὸν αὐτόν. ἐὰν δὲ εἰς τὰς κατ' ειδος ἀρετὰς σκοπῇς–, ἐπεὶ ἑκάστη ειδός ἐστιν τοῦ κατορθοῦντος, πληθυντικῶς λέγει τοὺς "οικους οἰκοδόμησά μοι". οὐ πάντες οἱ τὰ "ἀνθρώπινα" σπουδάσματα πε ριέποντες καὶ μεταδιώκουσιν "οικου" "οἰκοδομὴν" αὐτῶν καὶ τὴν "κτῆσιν", ἀλλὰ μόνον τὴν χρῆσιν. ἐπεὶ ουν ὁ λέγων ταῦτα οὐχ ὁ τυχών ἐστιν, ἀλλ' ὁ ἀκριβωμένην ευχων νόησιν παρὰ τοὺς αυλλους πολλοὺς ἀνθρώπους, λέγει περὶ ἑαυτοῦ ταῦτα οτι "ἐμεγάλυνα ποίημά μου" ὡς "ἀνθρώπινον". ευνιοι δὲ οὐδὲ αὐτὸ τοῦτο ιυσασιν, ποῖον θεϊκὸν "ἀγαθόν" ἐστιν καὶ ποῖον "ἀνθρώπινον". 2,4c.5a ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίη σά μοι κήπους καὶ παραδείσους. καὶ "ἀμπελῶνας" πολλάκις αἰσθητῶς ει χε ὁ "σοφός", ἀλλ' οὐτῷ αὐτῷ τρόπῳ. ευλεγον ⋯⋯με⋯⋯ "Ἀβραὰμ πλούσιος η ν", οὐ δεδούλωται δὲ τῷ πλούτῳ· εἰ γὰρ τὸν κληρονόμον προσέφερεν ἀπαιτηθεὶς ὑπὸ τοῦ θεοῦ θυσίαν, πολλῷ πλέον τὰ χρήματα. αυλλοι δὲ θέλουσιν μᾶλλον ἀποθανεῖν η ἀφαιρεθῆναι πλούτων· πολλάκις γοῦν ἠκούσαμεν οτι σπάσαντος πλοίου ευμεινάν τινες συναποθανεῖν θέλοντες τοῖς χρήμασιν. 2,5b καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρποῦ. τὰ μὲν τοῦ ῥητοῦ φανερά ἐστιν. τὰ δὲ ἐπὶ τῆς ἀναγωγῆς ιυδωμεν. οἱ γενάμενοι "κλήματα τῆς ἀμπέλου τῆς ἀληθινῆς" καὶ αὐτὸ τοῦτο "αυμπελος καρπο φόρος" γενάμενοι ἐπὶ τῷ φέρειν καρπὸν θεῖον, οἰνοφόρον, "εὐφραίνοντα καρδίαν ἀνθρώπου" "ἀμπελῶνας ἐφύτευσαν", τὰς ὑπερφυεῖς ἀρετάς, τὰς τῆς γνώσεως ἀληθείας διανοη τικάς. αυται γὰρ "εὐφραίνουσιν" τὸν "φυτεύσαντα". εἰ γὰρ "ἐφύτευσεν", καὶ τρυγήσει· τρυγήσας πίεται ἐσθίων τοὺς "καρποὺς τῶν πόνων" αὐτοῦ. "παράδεισοι" δέ εἰσιν οἱ ευχοντες "ἀκρόδρυα" ἐδώδιμα, "κῆποι" δὲ λαχανώδη "καρπὸν" ευχοντες. ὁ "σοφὸς" ουν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ο λοις "καρποφορεῖ" τὰς ἀρετὰς τὰς διανοητικάς, τὰ δόγ ματα τῆς εὐσεβείας. εἰ δὲ τὰ αὐλλα οι ον τάχα τὰ περὶ τὸ σῶμα, ἐκεῖνα αὐγριός εἰσιν "παράδεισος". τὰ δὲ αὐλλα τα δε αλλα τὰ χαμαίζηλα. ευχει δὲ καὶ περὶ αὐτὰ πολλάκις ὁ 37 "αὐνθρωπος", κα ν "σοφὸς" η · "καὐν τε ἐσθίῃ κα ν πίνῃ, πάντα εἰς δόξαν θεοῦ ποιῶν", ου τος ευχει "κῆπον". περὶ γὰρ τῶν μικρῶν ὁ ἀπόστολος λέγει "ειὐτε τι ποιεῖτε"–παρὰ τὸ "ἐσθίειν" καὶ "πίνειν", φανερὸν οτι κατωτέρω τῶν "ἀνθρωπίνων" ἐστίν–λέγει "εἰς δόξαν θεοῦ ποιεῖτε". ἐὰν ου ν ἡ "σοφία" τοῦ "σοφοῦ" η "σοφὸς" ταῦτα λέγῃ, πάντα ἀνάγεται. ἐὰν δὲ ἡ "καρδία" τοῦ "ἀνθρώπου", η θνητὸν ζῷόν ἐστιν λογικόν, τὰ "ἀνθρώπινα" λάμβανε κατορθώματα καὶ σπουδάσματα. μὴ γὰρ ἐκεῖνος ὁ λέγων "ψυχή, ευχεις ἀγαθὰ πολλά· φάγε, πίε" οὐκ ει χεν καὶ "ἀμπελῶνας" καὶ "παραδείσους"; ἐπερ· ὡς ἐξ αλλου προσώπου λέγει ταῦτα; ειὐρομεν οτι λέγει η ποῖός ἐστιν· οὐκ αὐτῷ μόνῳ ἐπι γράφεται, ἀλλὰ παντὶ τῷ τὴν αὐτὴν ευχοντι ποιότητα. τὰ λεγόμενα ὑπὸ "ἀνθρώπου" οὐ μόνον παρ' ἐκείνου τοῦ ῥητοῦ προσώπου λέγεται, ἀλλὰ παντὸς "ἀνθρώπου" ἀνθρωπίνως κινουμένου. καὶ φύσει ου τως ὡς ἐπὶ τῶν παραδειγμάτων καὶ τὰ πρόσωπα λαμβάνομεν· οι ον ἐλέγομεν οτι ὁ παρ' Ελλησιν σοφὸς οὐκ ευστιν χαμαίζηλος, οὐκ ευστιν χαίρων ἡδοναῖς, οὐ πλούτῳ, οι ον Σωκράτης γέγονεν. λέγω οι ον Σωκράτης· μόνον αὐτὸν λέγω, ἀλλ' ἐπεὶ γνώριμος ἐγένετο πολλοῖς ἐξ αὐτοῦ δείκνυμι πάντα τὸν κατ' αὐτὸν ουτω πεποιωμένον. 2,6ab ἐποίησά μοι κολυνβήθρας ὑδά των τοῦ ποτίησαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶντα ξύλα. ἐπὶ "ἀμπελῶνος" καὶ οἱ "παράδεισοι" καὶ οἱ "κῆποι" δέ ονται ποτισμοῦ. λέγει ἐπιμεμελῆσθαι καὶ τοῦ δαψιλῆ ευχειν τὰ "υδατα" καὶ ο τε δεῖ ἐπιρρεῖν τὸν ποτισμόν. καὶ πρὸς μὲν τὸ ῥητὸν τοῦτο. πρὸς δὲ διάνοιαν ου τως· ὁ "φυτεύων" ἀρετάς, ὁ ευργα αριστα, ὁ ἐπιτηδεύματα σπουδαῖα καὶ τοῦ πῶς ταῦτα ἀρδεύῃ, ινα παραμένωσιν καὶ αὐξάνωσιν, προνοεῖται. καὶ αυταί εἰσιν αἱ "κολυνβῆθραι". δυνατὸν δὲ καὶ τοῦτο εἰπεῖν· ενεκα τοῦ "κολυμβᾶν" καὶ καθαίρεσθαι. οὐ μόνον ουν τὰ "παντὸς καρποῦ ξύλα" "ποτίζουσιν" αἱ "κολυνβῆθραι" αυται ἀλλὰ καὶ τοῦ "δρυμοῦ". κυρίως δὲ "δρυ μὸς" λέγεται ὁ ἀκάρπων "ξύλων" τόπος· οὐδὲν γὰρ ετερόν ἐστιν "δρυμὸς" η τόπος ἀκάρπων "ξύλων"–ἀκάρπων δὲ ου τω οὐκ ἐδωδίμων. ἐν τῷ αὐσματι τῶν ᾀσμάτων ὁ νυμφίος καὶ ἡ νύμφη λέγουσιν· "αἱ δοκοὶ οιὐκων ἡμῶν αὐμπελοι, φατνώματα ἡμῶν κυπάρισσος." εἰς ταύτην τὴν χρείαν "φυτεύει" "δρυμὸν βλαστῶντα ξύλα". οὐ λοχᾷ ω δε ληστήριον ἐν τῷ τοιούτῳ "δρυμῷ", οὐ θηρία, ἀλλὰ αὐτὸ τοῦτο εἰς χρείαν παραλαμ βάνονται. καὶ ο τι εἰσὶν "ξύλα" τοιαῦτα κατὰ ἀναγωγὴν πολλαί εἰσιν διδάσκουσαι γραφαί. "διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καταφαγέτω πῦρ τὰς κέδρους σου· ὀλολυξάτω πυλη πίτυς, διότι μεγιστᾶνες μεγάλως ἐταλαιπώρησαν." τοὺς "μεγιστᾶνας" 38 "ξύλα" ει πεν καὶ "δρυμοὺς" καὶ "πίτυας".

2,7ab ἐκτησάμην δούλους καὶ παιδίσκας καὶ οἰκογενεῖς ἐγένοντό μοι. δείκνυσιν οτι καὶ τὴν ἐν θεραπείᾳ καὶ ὑπηρεσίᾳ ει χεν σπουδήν. δυνατὸν ἀνάξαι αὐτὰ τοῦ ῥητοῦ φανεροῦ ουὐντος. αἱ πράξεις δύνανται ειναι "δοῦλαι", θεραπαινίδες, οἱ δὲ ἀστεῖοι καὶ ὀρθοὶ λογισμοὶ οἱ περὶ τὰ φρονητέα "δοῦλοι". δεῖ ουν καὶ ταῦτα ὑποτεταγμένα ευχειν τὸν "σοφόν". οτε χρείαν ευχει "δούλων", ευχει αὐτοὺς ἑτοίμους πρὸς ὑπηρεσίαν. ευχομεν ου ν καὶ κτητούς· τοὺς ἐξ ἐπιμελείας ἡμετέρας καὶ σπουδῆς "κτώμεθα" λογισμοὺς καὶ πράξεις. 2,7c καί γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι. "βασιλεὺς" ω ν καὶ ἐν τοῖς "ἀνθρωπίνοις" πλουτῶν ει χεν καὶ ταῦτα. πρὸς δὲ διάνοιαν· εἰσὶν "βουκόλια" πνευματικὰ καὶ "ποίμνια"



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν νοητά. τὰ γὰρ συναγόμενα "ποίμνια" ἐκ τῶν "προβάτων τῶν ἀκουόντων τῆς φωνῆς αὐτοῦ" τῶν ποιμαινομένων ὑπ̣' ἀ̣ὐ̣τοῦ τοῦ̣ "σοφοῦ" εἰσιν "ποίμνια". καὶ ὁ κτώμενος πάλιν ἐκεῖ̣νος σπουδάζῃ ······ Πα̣ῦλος ·····ε̣· ········ν α·λ̣ω̣ν σημαίνων ευ̣λεγεν· "μὴ τῶν βοῶν μέλει τῷ θεῷ; η πάντως περὶ ἡμῶν λέγει;" ευ̣χει "βουκόλια" ὁ νοῶν τοὺς ἀποστόλους· ὁ νοῶν τὰ τοῦ Χ̣ριστοῦ "πρόβατα" τὰ τῆς "φωνῆς αὐτοῦ" ἀντίλημψιν δεχό μενα ευ̣χει βουκολια "ποίμνια". ἐπερ· ···ν κατ' ἀναγωγὴν τί; αἱ νοήσεις ἐκεῖναι αἱ γεωργικόν τι ποιοῦσαι, αἱ σχίζου σαι τὴν γῆν, αἱ ἀρδεύουσαι, αἱ πατοῦσαι τὰ γενήματα τὰ γενάμενα ἐκ τῆς σπουδῆς τῆς γεωργικῆς "βόες" εἰσίν. ο σοι δὲ εὐστάθειαν ευ̣χουσιν καὶ πραότητα, οὐ̣ σὺν λόγῳ δέ, ουτοι "πρόβατά" εἰσιν μόνης "φωνῆς"᾿Ιησοῦ "ἀκούοντες"· μόνον "ἀκούουσιν" τῶν γραφῶν. κατὰ ῥητόν, οὐκ ἀνηγμένως· οιδας οτι καὶ ἡ ἀνθρωπίνη "φωνὴ" δύο ευ̣χει· ευ̣χει τὸ ἀκουστὸν καὶ τὸ σημαίνειν. η̣ ἀκουστή ἐστιν καὶ ἐκ συλλαβῶν σύνκειται, "φωνή" ἐστιν· η̣ δὲ σημαίνει τινὰ καὶ ἐκλαμβάνομεν τὰ σημαινόμενα διανοητικῶς, τότε λόγος ἐστίν. διὰ τοῦτο γοῦν ἐλέγομεν καὶ τὸν᾿Ιωάννην "φωνὴ̣ βοῶντος" ειναι "ἐν τῇ ἐρήμῳ̣". ἐ λαμβάνετο δὲ ἡμῖν ὁ᾿Ιωάννης κατὰ ἀναγωγὴν "φωνὴ" η λέξις τῶν γραφῶν τῶν παλαιῶν. ἡ γὰρ διάνοια αὐτῶν ὁ "βοῶν" λόγος ἐστίν. προτρέχει ουν ἡ "φωνὴ" ἀεὶ τοῦ λόγου. τῶν ὑπηρετούντων ουν καὶ εἰς τὰς χρείας τὰς ἐμὰς συντελούντων οἱ μὲν λογικοί εἰσιν "δοῦλοι" καὶ "δοῦλαι", τὰ δὲ "πρόβατα" καὶ "βόες" τὰ ἀλογώτερα κινήματα, σὺν λόγῳ δὲ ἀγόμενα. 39 2,7de ὑπὲρ πάντας τοὺς γεναμένους ευ̣ν προσθέν μου ἐν᾿ Ιερουσαλήμ. ὡς πρὸς τὸ ῥητὸν τοῦτο λέγει· "ὑπὲρ πάντας τοὺς" αρχοντας "ἐν τῇ᾿ Ιερουσαλὴμ" ἐγὼ καὶ ἐν τούτοις ευ̣πορος ημην ἐν τῷ ευ̣χειν "βοῦς καὶ ποίμνια". πρὸς δὲ διάνοιαν ουτως· "πάντες" οἱ κατὰ ἀρετὴν βιοῦν τες πολῖται τ̣ῆς "᾿Ιερουσαλήμ" εἰσιν. καὶ ἐπεὶ καὶ ἐν τού τοις διαφορά ἐστιν–οἱ μὲν γὰρ μείζους, οἱ δὲ ἐλάτ τ̣ους καὶ οἱ μὲν αὐξάνοντες ἐπὶ πολὺ, οἱ δὲ ηδη ηὐξηκότες–, διὰ τοῦτο ου τος ὁ ταῦτα λέγων ὁ τέλειος "σοφός", ὁ μαρτυρούμενος ο τι “πάντων σοφώτερος γέγονεν καὶ οὐδ εἰς γέγονεν κατ' αὐτόν”, ευ̣χει τὰς κτήσεις τὰς εἰρημένας "ὑπὲρ" τοὺς αυ̣λλους τοὺς "ἐν τῇ᾿ Ιερουσαλὴμ" βασιλεύ σαντας. ἐπερ· κατὰ τὸν "σοφὸν" οὐκ η ν αὐτοῦ σοφώτερος; καὶ τοῦτο δ̣ὲ αυ̣κουε ο τι πρὸ τοῦ̣ τέλου̣ς αυ̣λλοι αυ̣λλων μᾶλλόν εἰσιν κατά τι, οὐ κατὰ πάντα. ἰατρὸς ἰατροῦ λέ γεται μᾶλλον ἐ̣νίοτ̣ε κατὰ τὸ χειρουργικὸν μόνον, καὶ ε τερος ἑτέρου κατὰ τὸ διαιτητικόν. ἐὰν ουν ὁ Δανιὴλ̣ ἐπὶ τὰ τῆς αλλης σοφίας μᾶλλον ην, οὐ πάντως κατὰ πάντα μᾶλλον ην τοῦ Σολομῶνος· "ευ̣δωκεν κύριος φρόνησιν τῷ Σολομὼν ὑπὲρ πάντας", λέγει. πρὸς δὲ διάνοιαν ····λ̣···ς τῶν ἁγίων τ̣ὰ̣ "χαρίσμα τα" τοῦ "πνεύματός" ἐστιν· αυ̣λλος αυ̣λλου κ̣ατά τ̣ι γνωσ τικώτ̣ε̣ρ̣ό̣ς ἐ̣σ̣τιν καὶ ε τερος ἑτέρου "π̣ίστ̣ιν" ευ̣χει τὴν "πάν τα" δυναμένην, ηη̣ς τ̣ὰ "ευ̣ργα̣ μεγάλα" ἐστίν, κ̣α̣ὶ αυ̣λ λος αυ̣λλου "κυβέρνησιν" ευ̣χει· 2,8ab συνήγαγόν μοι καί γε ἀργύριον καί γε χρυσίον καὶ περιουσιασμοὺς βα σιλέων καὶ τῶν χωρῶν. πάλιν τὸ τοῦ ῥητοῦ φανερόν· ἐκ τῶν τιμιωτέρων μερῶν τοῦ πλούτου πλεονάσας–τίμια γὰρ μέρη εἰσὶν "χρυσὸς" καὶ "αυ̣ργυρος"–καὶ ἐπιτελεῖς ει χεν "βασιλεῖς". διὰ τοῦτο λέγει "καὶ περιουσιασμοὺς βασιλέων". πρὸς διάνοιαν δὲ τοῦτο λέγομεν· πολλαχοῦ τῶν θείων παιδευμάτων ὁ νοῦς καὶ τὰ νοητὰ διὰ τοῦ "χρυσοῦ" φανεροῦται, ὁ δὲ προφορικὸς λόγος καὶ ἡ ἀρετὴ αὐτοῦ διὰ τοῦ "ἀρ γύρου"· "αυ̣ργυρος πεπυρωμένος γλῶσσα δικαίου", τουτέστιν ὁ προφορικὸς αὐτοῦ λόγος καὶ α διὰ τοῦ προφορικοῦ λόγου ω ς περ ὁμιλῶν παιδεύει· ου τω καὶ "τὰ λόγια κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ". ὁ δὲ νοῦς "χρυσός" ἐστιν. οταν γοῦν λέγῃ οτι "κατὰ τὸν τύπον τὸν δειχθέν τα σοι ποιήσεις ἐν τῷ ου̣ρει", ει τα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"ποιεῖ" χρυσὴν "λυχνίαν" τινά, νοητὴν αυρα. καὶ "ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τοῦ κλήρου, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετά φρενα αὐτῆς ἐν χλωρότητι χρυσίου"· ὁ "κοιμώμενος ἀνὰ μέ σον τῶν κλήρων", τῶν δύο διαθηκῶν, "πτέρυγας" τὰς τοῦ πνεύματος κτᾶται. καὶ ἐπειδὴ καὶ τὰ "χαρίσματα" τοῦ "πνεύματος" ἐκ τῶν γραφῶν ἀναδείκνυται, "περιηργυρωμέναι" εἰ σὶν αυ ται αἱ "πτέρυγες". καὶ μετὰ τὰς "φρένας" καὶ τὰς 40 "πτέρυγας" "χλωρότης χρυσίου" εὑρίσκεται. ὁ νοῦς "χρυσίον" ἐστίν. μετὰ τὰς ἐξ "ἀργύρου" πεποικιλμένας "περιστερὰς" καὶ "χλωρότητα" ει πεν. ἡ "χλωρότης" ἐπὶ φυτοῦ σημεῖον ζωῆς ἐστιν. ἐπεὶ ου ν ὁ νοῦς καὶ φρήν ἐστιν καὶ "χρυσίον"–, ὁ μὲν "χρυσὸς" πεφανέρωται "δόκιμος" ει ναι ὑπεροχῇ τοῦ "ἀργυρίου"· ἡ γὰρ "χλωρότης" μαρτυρεῖ αὐτῷ τὸ ζώπυρον ει ναι. πρὸς τὴν ἀναγωγὴν ọυ̣ λέγομεν. λέγομεν οτι ὁ πε πληρωμένος "χρυσοῦ"–τουτέστιν νοῦ–καὶ ευχων "ἀργύρια"– τὰ θεῖα τοῦ̣ "κυρίου λ̣όγια"–δύναται καὶ πολλ̣οὺς ὑπọτελεῖς ευχειν "βασιλεῖς". διὰ τοῦτο ου ν οἱ καθ' ἡμᾶς "σοφοί", ο τε καὶ περὶ τὰ αυ̣λλα ευ̣σχον πλ̣έον, πλέον τῶν αλλων ειχον. "Μωϋσῆς" γοῦν "παιδευθεὶς πάσῃ σοφίạ Αἰγυπτίω̣ν" πλέον τι ειχεν τῶν αλλων῾Εβραίων ευχων "περιουσιασ μὸν βασιλέων καὶ τῶν χωρῶν" τῶν εἰσηγητῶν τῶν Αἰγυπτίων σοφιῶν. Δανιὴλ πάλιν πεπαίδευτạι "γραμματικήν, σοφίαν", μαγείαν, τὰ αυ̣λλα, καὶ πλέον ει χε τῶν αυ̣λλων. αὐτίκα γοῦν περὶ δυνάμεων μεγάλων ἐκπεσουσῶν λέγεται· "μὴ σὺ σοφώ τερος ει τοῦ Δανιήλ;" μὴ γάρ. εἰ γὰρ "ἀποσφράγισμα ὁμοιώσεως" η ν καὶ "στέφανος κάλλους" καὶ "ἐν τῷ παραδεί σῳ", εἰ "ἐγένετο ο μοιος" αὐτῷ "τεθεὶς μετὰ τῶν χερουβὶν" καὶ "πάντα λίθον χρηστὸν ẹνδẹδεμẹ́νος" ········ ····· ἐν "ἀ̣νθρώπọις" "σοφο·" "σοφώτερος". ευ̣χουσίν τι ου ν πλέον οἱ "σοφọί̣", ο τ̣αν καὶ τὰ "ἀνθρώπινα" εἰδείησαν. καὶ ἐκ τῆς ἱστορίạς σκọ́πει· κεῖται ἐν τῇ γραφῇ πολλάκις διάφορα "φυτὰ" καὶ "ξύλα". καὶ ὁ μὲν τούτων ευχει τὴν ἱστορίαν, ὁ δὲ ọὐ οὐδ' ẹἰ̣δὼς πλειόνως νοεῖν τὰ ῥητὰ ταῦτα τὸν ευ̣χοντα τὴν ἱστορίαν. "λίθοι πολυτελεῖς" εἰσιν. καὶ ὁ μὲν αὐτοὺς οι δεν, ὁ δὲ οὐκ οιδεν. ἐὰν ἀμφότεροι κατὰ θεὸν "σοφοὶ" ω σιν, οὐκ εχει τι πλέον ὁ εἰδὼς καὶ τὴν φύσιν τῶν "λίθων". μανθάνομεν ουν οτι οὐκ ἐξ ολων ἐξωβλητά ἐστιν τὰ τῶν "ἀνθρώπων" λόγια. "περιουσιασμὸς βασιλέων" ἐστὶν "χρυσός", "αργυρος" καὶ "λίθοι". ἡ "φυτεία" δὲ ἡ προλεχθεῖσα, ἐπειδὴ "ἀμπελῶνας" καὶ "παραδείσους" καὶ τὰ αυ̣λλα δ̣ιαιρεθέντα ἐκεῖνα ευχει, τῶν "χωρῶν" ἐστιν. κυρίως γὰρ "χώρα" ἐστὶν ἡ ἐκ τῆς γῆς "βλαστῶσα". αὐτίκα γοῦν καὶ ὁ σωτὴρ περὶ σίτου λέγων λέγει· "ἐπ άρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε οτι λευκαί εἰσιν αἱ χῶραι". 2,8cde ἐποίησα μοι ạδοντας καὶ ạ̣̓δούσας καὶ ἐντρυφήματα υἱῶν τοῦ ἀνθρώπου οἰνοχόους καὶ οἰνοχόας. 2,8cd οὐδὲν παρῆκα τῶν εἰς τέρψιν καὶ εὐφροσύνην "ἀνθρώπων" συντελούντων. ὡς γὰρ ειπον περὶ "φυτειῶν" πολ λῶν καὶ "ποιμένων" καὶ "προβάτων" καὶ τῶν λοιπῶν λέγει οτι καὶ τὰ αλλα πρὸς τέρψιν καὶ ἡδονὴν παρέλαβον καὶ "ἐποίησα ạδοντας καὶ ạ̣̓δούσας", χορὸν συνεστησάμην ἐξ "ạ̣̓δόντων" ἀνδρῶν 41 καὶ "ạ̣̓δουσῶν" γυναικῶν καὶ ευ̣τι "οἰνοχόους καὶ οἰνοχόας". ταῦτα "ἐντρυφήματά" ἐστιν τῶν "ἀνθρώπων", τῶν "υἱῶν τοῦ ἀνθρώπου", "ἐκείνων" τῶν "υἱῶν" τῶν μὴ ου̣ντων "θεῶν". "ἐκείνους" γὰρ "θεοὺς ειπεν, πρὸς ους ὁ λόγος τοῦ θεοῦ ἐ γένετο". ου τοι δὲ "ὡς αυ̣νθρωποι ἀποθνῄσκοντες" οντες ου̣ντες τὰ κινοῦντα καὶ ἐγείροντα τέρψιν καὶ ἡδονὴν κοινὴν καὶ "ἀνθρωπίνην" ἐσπούδασαν ευ̣χειν. ἐὰν κατὰ τὸν Σολομῶνα ου ν η τὰ ἀπαγγελλόμενα, "ạδοντας καὶ ạ̣̓δούσας πεποίηκεν". εἰσὶν δὲ ἐπαινετῶς "ạ̣υ̣δοντες καὶ ạ̣υδουσαι" ἁρμονίως καὶ συμφώνως. "νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ου̣νομα κυρίου".



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

"πρεσβύτεροι μετὰ νεωτέρων, νεανίσκοι καὶ παρθένοι"· ιὐδε οἱ "ᾀδοντες" καὶ αἱ "ᾀδουσαι" ἐκείνας τὰς "ᾠδὰς" τὰς "πνευματικὰς", περὶ ω ν ὁ μακάριος ἀπόστολος γράφει· "ᾀὐ δοντες καὶ ψάλλοντες ᾠδαῖς πνευματικαῖς". καὶ ωσπερ οἱ χοροδιδάσκαλοι ἱστᾶσιν εκαστον καὶ ἑκάστην τῶν χορευόντων καὶ χορευουσῶν ἐν τόπῳ τινὶ καὶ βαθμῷ, ιν' ουτως ἡ κρᾶσις τῆς ἁρμονίας τῶν φθόγγων γένωνται, ου τω καὶ οἱ κατὰ θεὸν "ψάλλοντες" καὶ ἐνηρμοσμένως τοῦτο ποιοῦντες ωσπερ χοροδιδάσκαλον εχουσιν αὐτὸν τὸν σωτῆρα η τὸν "σοφὸν" αὐνδρα τὸν ω δε καλούμενον Σολομών, ι να η "σοφός" ἐστιν λάβωμεν αὐτόν.

2,8d καὶ ἐντρυφήματα υἱῶν τοῦ ἀν θρώπου. καταλλήλως τοῖς "ἐντρυφήμασιν" ω δε "υἱὸν ἀνθρώ που" ηὐτοι τὸν "σωτῆρα" λέγομεν η τὸν τηρήσαντα ………… ….. ……… οἱ τούτου "υἱοὶ" καταλ λήλως τῇ χορείᾳ "καὶ ἐντρυφήματα" μεταδιώκουσιν καὶ ευχουσιν. 2,8e οἰνοχόους καὶ οἰνοχόας. πάλιν λέγομεν ο τι βούλεται δεῖξαι ὁ λόγος ο τι ἡ αὐτὴ ἀρετὴ ἀνδρῶν καὶ γυναικῶν ἐστιν· κοινή ἐστιν σωφροσύνη ἀνδρῶν καὶ γυναικῶν ἀρετὴ καὶ δικαιοσύνη καὶ ἀνδρεία. αυ ται ου ν καὶ ου τοι "οἰνοχοῦσιν". α γὰρ ευχουσιν καὶ πράττουσιν καὶ φρονοῦσιν, καὶ αὐλλους "ποτίζουσιν". καὶ ὁ "οι νος" ου τος τρυγᾶται ἀπὸ τῆς "ἀμπέλου τῆς ἀληθινῆς". τοῦτον ἡ "σοφία ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς". κρᾶσιν γὰρ τῆς ἐν ανθρωπήσεως καὶ τῆς θεότητος ποιήσασα ἡ "σοφία εἰς κρα τῆρα" τὸν ιὐδιον "οινον ἐκέρασεν". δυνατὸν δὲ καὶ κατὰ αὐλλον τρόπον τὴν κρᾶσιν λαβεῖν, ἐπεὶ πολλάκις καὶ τὰ τῆς ἱστορίας ὠφελεῖ καὶ τὰ τοῦ γράμματος. "ἐκέρασεν" τὰ νοητὰ τοῖς αἰσθητοῖς, τὰ πνευματικὰ τοῖς κατὰ τὸ γράμμα καὶ λέγει· “δεῦτε, "πίετε" πάντες "ο ν ἐκέρασα οι νον", δεῦτε λάβετε”. καὶ οὐ πάντως πρὸς αὐνδρας μόνους λέγει, ἀλλὰ καὶ πρὸς γυναῖκας. δυνατὸν δὲ καὶ κατὰ ἀλληγορίαν, ὡς πολλάκις ειὐρηται, οτι αἱ ψυχαὶ αἱ ἐξ ἑαυτῶν προφέρουσαι μαθήματα οὐ μαθοῦσαι παρὰ αλλου καὶ σπείρουσαι αλλαις ψυχαῖς, αι ς παιδεύ 42 ουσιν, ανδρες εἰσίν, αἱ δὲ ἐξ ἑαυτῶν μὴ δυνάμεναι τεκνοῖν αἱ ἐκ διδασκαλίας εἰσὶν προφερόμεναι, καὶ ο τε ἐπὶ ταύτην τὴν διακονίαν πεπαίδευνται ανδρες, αἱ ποθούμεναι δὲ ψυχαὶ γυναῖκες. αυ ται ου ν καὶ "οἰνοχοοῦσιν"–καὶ "οἰνοχόαι" καὶ "οἱ νοχόες" εἰσίν–τὸν πνευματικὸν "οινον ον, ον ἐκέρασεν ἡ σοφία", ἐπιμετροῦσαι καὶ ἐπιμερίζουσαι ταῖς δυναμέναις "ποιεῖν". "ἀπέστειλεν", φησίν, "ἡ σοφία τοὺς ἑαυτῆς δούλους μετὰ ὑψηλοῦ κηρύγματος λέγουσα· δεῦτε φάγετε τῶν ἐμῶν αὐρτων οἱ ἐνδεεῖς φρενῶν καὶ πίετε οινον, ον ἐκέρασα ὑμῖν· ἀπολείψετε ἀφροσύνην, ινα εἰς τὸν αἰῶνα βασιλεύσητε." οὐ πρὸς αρρενας κατὰ τὸ σῶμα μόνον προτείνει τοῦτο τὸ "κήρυγμα" ἀλλὰ καὶ πρὸς θηλείας τῷ σώματι. πάντες δὲ, καὶ ουτοι κἀκεῖναι, "εἰσιν τῆς "σοφίας μετὰ ὑψηλοῦ κηρύγματος" προφέροντες τὸ “δεῦτε "πίετε τὸν οινον, ον ἐκέρασα, καὶ φάγετε αὐρτους", ου ς εὐτρέπι σα "ὑμῖν".” οἱ δὲ ὑπὸ "σοφίας" διδόμενοι "αὐρτοι" σοφοὺς καὶ φρονίμους τοὺς "ἐσθίοντας" ποιοῦσιν. καὶ ὁ "πινόμενος" ὑπ' αὐτῆς "οι νος" "νηφαλίαν μέθην" ἐνποιεῖ καὶ "εὐφροσύνην" θείαν τοῖς μετὰ αὐτῆς "πιοῦσιν". θεώρει γοῦν τί λέγει· "φάγετε", λέγει, "τῶν ἐμῶν αὐρτων οἱ ἐνδεεῖς φρενῶν" –τῶν δὲ αἰσθητῶν "αρτων" δύνανται καὶ σοφοὶ καὶ μὴ σοφοὶ μεταλαμβάνειν–"καὶ πίετε οινον, ινα ἀπολείψετε ἀφροσύνην". ἐπερ· ινα τὸ "κέρασμα" τί; τοῦτο ει πον ………ε……………….ρ…… ἐνανθρωπήσει καὶ ωσπερ μία κρᾶσις γεγένηται· ου τω γὰρ καὶ ἐσφάλησάν τινες· οὐκ ἐσκόπησαν οτι δύο ἀνομοίων κρᾶσις γέγονεν. καὶ οἱ μὲν εἰς τὴν ἀνθρωπότητα μόνην σκοπήσαντες ειὐρηκαν ο τι ψιλὸς αὐνθρωπός ἐστιν, οι ός



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστιν ὁ Σαμοσ̣α τεὺ̣ς Παῦλος καὶ Φωτεινός. οἱ δὲ εἰς τὴν δόκησιν ευ̣φθασαν μόνῃ τῇ θεότητι προσσ̣χόντες. τὸ κρᾶμα ουν ἡ μῖξις ἐστὶν τῆς ἐνανθρωπήσ̣εως κ̣αὶ̣ τ̣ῆς θεότητος. ει πον δὲ καὶ αλλας διανοίας οτι τὰ πνευματικὰ καὶ α̣ἰσ̣θητὰ̣ κ̣ατ̣α̣μιγόμενα κρᾶσιν ποιεῖ. 2,9abc ἐμεγαλύνθην κ̣αὶ προσέθηκα παρὰ πάντας τοὺς γενομένους μου ευ̣ν προσθεν ἐν Ἰ̣ερ̣ουσαλήμ. ἀ̣ε̣ὶ ἐν τῷ "προστιθέναι" ἐστὶν ὁ "σοφός", οταν προκόπτῃ. ἐν τῷ βίῳ δὲ τ̣ὸ̣ ευ̣σ̣χατ̣ο̣ν κ̣α̣ὶ πρῶτόν ἐστιν τελειωθῆναι. "οταν", φησίν, "συντελέσει ανθρωπος, τότε αυ̣ρχεται". ἀμέλει γ̣ο̣ῦ̣ν κα̣ὶ "οταν τὸ" ἐνδεχόμενον "τέλειον" ἐν τῷ βίῳ τούτῳ χωροῦσιν, ·ε······ "ἐκ μέρους γιγνώσκο μεν". ἀεὶ ουν ἐν τῷ "προστιθέναι" ἐστὶν ὁ σπουδαῖος. τοῦ το, νομίζω, καὶ Ἰσοκράτης ει πεν· "α μεμάθηκας, διατήρει ταῖς μελέταις προσλάμβανε δὲ ταῖς ἐπιστήμαις." ὁ δὲ "προσλαμβάνων" ἀεὶ "προστίθησιν" ἐπερ· κατὰ δ̣ιάνοιαν ἐκ προσώπου τοῦ σωτῆρος; 43 δύναται τοὺς προφῆτας καὶ Μωσέα λέγειν· πρὸ αὐτοῦ γὰρ ἐπεδήμησαν αὐτοί, προεθέσπισαν καὶ προκατήγγειλαν αὐτοῦ τὴν παρουσίαν. τίς δὲ ἡ "προσθήκη"; ακουε· ἐκεῖνοι προεθέσπιζον, α ημελλεν Ἰ̣ησοῦς ποιεῖν τε καὶ διδάσκειν· αὐτὸς δὲ ἀνεπλήρωσεν αὐτά. ἀεὶ δὲ ἡ ἐν έργεια τῶν δυνάμεων "προσθήκη" ἐστίν. ᾠδοποίουν ἐκεῖνοι, ου τος δὲ τέλος ἐπέθηκεν τῇ "ὁδῷ" ἑαυτὸν εἰς τοῦτο προβα λὼν καὶ εἰπών· "ἐγώ εἰμι ἡ ὁδός, ἡ ἀλήθεια". αὐτίκα γοῦν τοῖς μαθηταῖς λέγει· "ἐὰν μὴ περισσεύει ὑμῶν ἡ δικαιοσύνη πλέον τ̣ῶν γραμματέων καὶ φαρισαίων". ὁρᾷς ο τι οἱ Ἰησοῦ μαθηταὶ "περισσεύσαντες" ἐκείνην ευ̣χουσιν "παρὰ̣" τὴν τῶν προτέρων. 2,9d καί γε σοφία μου ἐστάθη μοι. ἡ "σοφία μου ἐστάθη"· ἡ ἐνδεχομένη π̣ληρωθῆναι ἐνταῦ θα πεπλήρωται. "στάσιν" δὲ ω δε τὴν προσδιαστολὴν κινήσεω̣ς λέγει. ὁ̣ προκόπτων ἐν τῷ κινεῖσθαί ἐστιν, ἐν τῷ σπεύδειν, ἐν τῷ τρέχειν. ου τω γοῦν κ̣αὶ ὁ Παῦ̣λος τελειωθεὶς κατὰ τὸν "δρόμον", ο ν ει λατο ἀνύσαι, λέγει· "τὸν δρόμον τετέ λεκα"· "ἐστάθη μοι" ὁ "δρόμος" "μου". καὶ ω δε ἡ "σοφία μου ἐστάθη μοι". δυνατὸ̣ν δ̣ὲ καὶ ου τως ἐκ περιουσίας εἰπεῖν οτι τὰ αυ̣ξια λόγου σταθμίζεται. οὐδεὶς γὰρ η ου̣στρακα η λίθους σταθμίζει, ἀλλὰ χρυσὸν μόνον. ἡ̣ "σοφία" ου̣ν̣ "μου ἐστάθη μ̣οι". ει πεν ου ν καὶ ἐν αλλοις· "τιμιωτέρα δ̣έ ἐστιν ἡ σο φία λίθων πολυτελῶν" καὶ "λάβετε παιδείαν καὶ μὴ ἀργύ ριον καὶ γνῶσιν ὑπὲρ χρυσίο̣ν δεδοκιμασμένον". ἡ "σοφία" ου ν "μου" ἀξία τοῦ σταθμισθῆναι γέγονεν. καὶ ω σπερ τὰ καλὰ λέγομεν αυ̣ξια ἀριθμοῦ ει ναι καὶ λόγου, ου τω καὶ τοῦ σταθμισθῆναι αυ̣ξιά εἰσιν τὰ καλά. τὸ πρότερον ου ν λεχθὲν ἀναντίρρητόν ἐστιν, ο τι οὐ κλονοῦμαι οὐκέτι ω δε κἀκεῖσε, ἀλλ' "ευ̣στη μοι ἡ σοφία" κἀγὼ αὐτῇ "ευ̣στην".

2,10ab καὶ πᾶν, ο ῃ̣τ̣ησαν οἱ ὀφθαλ μοί, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν. ὡς πρὸς τὸ ῥητὸν τοῦτ̣ο̣ λέγει· εἰ γέγονα ἐν ἐπιθυμίᾳ τινὸς τῶν αἰσθητῶν, "οὐκ ἀφεῖλον αὐτὸ ἀπὸ τῶν ὀφθαλμῶν μου". ευ̣σχον, ο ἐπόθησα ἰδεῖν. ὁ Ἰωάννης ἐν τῇ κατ' αὐτὸν ἐπιστολῇ λέγει· "ἡ ἐπιθυμία", φησίν, "τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου οὐκ ευ̣στιν ἐκ τοῦ πατρός". εἰ καὶ "οὐκ ευ̣στιν" δὲ "ἐκ τοῦ πατρὸς" ὡς τὰ "χαρίσματα" τοῦ "πνεύματος", ο μως "ἐκ θεοῦ" ἐστιν καὶ ταῦτα. οὐ δεῖ μέντοι ἐνπαθῶς ευ̣χειν τὴν περὶ τὰ ὁρώμενα ἐπιθυμίαν, ἀλλ' ὡς ἐνδεχόμενον. καὶ οἱ ἐκ τῆς θέας αὐτῶν οι ον ἀγεωμέτρη τός τις, ἐὰν ιυ̣δῃ σχήματα ευ καταγεγραμμένα καὶ ευ̣ρυθμα̣ 44 καὶ ἀπὸ καλοῦ χρώματος, ἐν ἐπιθυμίᾳ αὐτὰ βλέπει· ὁ δὲ ἐπι στήμων οὐ ζητεῖ, εἰ ἐκ καλοῦ καλου χρώματος η εὐρύθμως, ἀλλὰ ἐπιστημονικῶς θεωρεῖ ἀπ' αὐτῶν, α δεῖ αὐτὸν ἐκλαβεῖν ἀπὸ τῶν ὁρωμένων. οὐδὲν ου ν, φησίν, ω ν δεῖ ἐπιθυμῆσαι ὁρα τῶν, ευ̣ξω μου γέγονεν. λοιπὸν ὁ νοῦς ου̣μμα ψυχῆς ὑπάρχων ευ̣χει κατάλληλα θεάμα τα, ω ν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ευρωτα ευχει. ο ταν ου ν ἐπίρροιά τις καὶ ἐπιπνοὴ γένη ται τῶν καλῶν καὶ ἐπαινετῶς ὁρωμένων, "οὐκ ἀφῃρέθη" τι "ἀπὸ τῶν ὀφθαλμῶν", ω ν "ῃυτησεν". "αἰτεῖ" δὲ ὁ νοῦς κατ άλληλα θεωρήματα, ὀρχήσεις η τὰ π̣α̣ραπλ̣ῄ̣σ̣ια. 2,10cd οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ παντὸς εὐφραίνοντος. ὡς πρὸς τὸ ῥητὸν λέγω· "ευυφρανεν τὴν καρδίαν μου" θέα ἀγρῶν καὶ "παραδείσων" καὶ τῶν αυλλων–καὶ ευσχον αὐτά– "κολυνβήθρας ὑδάτων" καὶ "δρυμοὺς βλαστῶντας ξύλα" καὶ "πᾶν καρποῦ ξύλον"–καὶ ευσχον καὶ ταῦτα–καὶ "ᾀ̣υδοντας καὶ ᾀδούσ̣ας"–κ̣αὶ ὑ̣πῆρκταί μοι ταῦτα–"οἰνοχόους καὶ οἰνοχόας". οὐδὲν ου ν τῶν συντελούντων πρὸς "εὐφρο σύνη̣ν̣" ἤ "καρδ̣ί̣α μου ἐκωλύθη", ἀλλὰ "πάντων" ἐπέτυχεν, "πάντων" ἐπειράθη. δυνατὸν δ̣ὲ κ̣αὶ πρὸς ἀναγωγήν· ἡ "καρδία" ὁ νοῦς ἐσ τιν. "ο που γὰρ ὁ θησαυρός, ἐκεῖ κα̣ὶ̣ ἡ καρδία ευσται̣" κ̣αὶ "ἀναλάβω̣μεν καρδίας ἡμῶν πρὸς ὑψηλὸν ἐν τῷ̣ ο̣ὐ̣ρα νῷ"–οὐ̣ τὸ μέρος δὲ τοῦ σώματος τὸ καλούμενον καρδία, ἀλλὰ ὁ νοῦς–καὶ ευτι "μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ̣"–τουτ έστιν τὸν νοῦν–καὶ "ἀκούσατέ μου οἱ ἀπολωλεκότες τὴν καρδίαν". ταύτην ου ν "οὐ" δεῖ "κωλύειν ἀπὸ παντὸς εὐφρα̣ί̣ νοντος". "εὐ̣φραίνει" δὲ αὐτὴν τὰ κατάλληλα θεάματα, τὰ ἐπιστημονικὰ θεωρήματα· ἐπιστήμην δὲ τὴν κατὰ θεὸν λέ γω. 2,10e ο τι καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ̣ μου. οι δας ο τι, ἐάν τις κατὰ τὴν "καρδίαν" "μοχθῇ" περί τι καὶ ἀποτυγχάνῃ, λυπεῖται. ἐν οὐδενὶ ου ν, φησίν, τῶν προσ δοκουμ̣ένων μετὰ "μόχθου" ἀποτυχία μοι γέγονεν. πάλιν "μοχθεῖ" ὁ τὴν "φρόνησιν ζητῶν", ὁ τὴν ἀρετὴν πειρώμενος θηρεύειν. ο ταν α παντα αὐτῷ ⋯⋯⋯εως οὐκ ἐξέπεσεν τῶν προσδοκουμένων, περὶ ω ν "ἐμόχθησεν". 2,10φγ καὶ τοῦτο ἐγένετό μοι μερὶς ἀπὸ παντὸς μόχθου μου. τὸ παρελθὸν τὸ ἀνυσθὲν. λάβε κατὰ ἀμφοτέρας τὰς θεωρίας. "ἐμόχθησα" περὶ τῶν "ἀνθρωπίνων"– "πᾱ̣ν̣τα" ὑπῆρκταί μοι–, περὶ ἀρχῆς–καὶ "βασιλεὺς γέγονα"–, περὶ εἰρήνης τῆς κατὰ τ̣ὴν βασιλείαν–καὶ "γέγονεν" καὶ αυ τη. 45 πάλιν πρὸς τὴν ἀναγωγήν· ὁ "μοχθήσας" περὶ τῶν ὠφελούν των τὴν ψυχὴν καὶ τὸν "ευ̣σω αυ̣νθρωπον" κοσμούντων λέγει ο τι "ἐν παντὶ μόχθῳ μου ηὐφράνθην".

2,11abc καὶ ευβλεψα ἐγὼ ἐν πᾶσιν τοῖς ποιήμασίν μου, οι ς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ, ῳ ἐμόχθησα τοῦ ποιεῖν. αἱ "χεῖρές μου" δραστήριοι καὶ ποιητικαὶ δυνάμεις ουσαι "ποιοῦσιν" καὶ ἐνεργοῦσιν. καὶ "πάντα ειδον μάταια" ου̣ντα ταῦτα τὰ ὑπὸ τῶν "χειρῶν" τούτων τῶν φαινομένων γινόμενα καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν. δύναται δὲ καὶ "μόχθος" λέγεσθαι νῦν τὸ μοχθηρόν. μοχ θηρά ἐστιν, α πράττ̣ουσιν οἱ "αυ̣νθρωποι", η̣ "ανθρωποί ἐσμεν"· η̣ "κατὰ σάρκα περιπατεῖν" βουλόμεθα καὶ "φρονοῦμ̣εν τὰ τῆς σαρκός". ὁ "μόχθος" ου ν ου τος τῷ̣ ου̣ντι ἐκβλητέος ἐστίν, "μάταιός" ἐστιν· ο μω̣ς ματαιάζεται ὑπὸ τῶν πλείσ των "ἀνθρώπων". συναριθμεῖ δὲ καὶ αὐτὸς ἑαυτὸν τοῖς τοι ούτοις, ἐπεὶ κα̣ὶ αὐτ̣ὸ̣ς "αυ̣νθρωπός" ἐστιν. καὶ ευ̣λεγον ο τι οὐδεὶς λέγων κατὰ πλούτου πένης ω ν ἀκούεται, ἀ̣λ̣λ̣ὰ̣ δεῖ τὸν τοιαῦτα διδάσκοντα πεπειρᾶσθαι πάντων τῶν "ἀνθρωπίνων". ἡ διδασκαλία ου ν τότε ἀνύει καὶ κατ' ὀρθὸν χωρεῖ, ο ταν ὁ προφέρων αὐτὴν ἐνέχηται ἐκείνοις, οι ς ἀπαγορεύει, δεικ νὺς ο τι αὐτὸς δεό̣ντως αὐτ̣οῖς χρᾶται. εἰ γὰρ ⋯⋯ ⋯η̣ "ἐποίει" α⋯α ευ̣λεγεν ευ̣λεγ·ν ο τι αδ⋯⋯⋯⋯φ ⋯λ̣⋯ κ̣αὶ τα̣ῦτα. 2,11d κα̣ὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. …⋯⋯ "προαιρούμεθα" ταῦτα οὐ δεδοκιμακότες, οὐ σὺν "σοφίᾳ̣" τοῦτο ⋯⋯⋯ν⋯⋯ "προαίρ̣ε̣σ̣ις" δ̣ὲ̣ λέγεται ἡ μέση, η̣ ἐστιν ευ καὶ χει ρόνως χρήσασθαι. κ̣α̣ὶ̣ ευ̣λ̣εγον ο̣τι η τὴν γνώμην σημαίνει τὸ "πνεῦμα" η τὴν ψυχήν. ἀμφότερα γὰρ δηλοῦται ἐ̣κ̣ τῆς λέξεω̣ς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ο ταν ·…· λέγῃ "καὶ γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι σύνεσιν"–οἱ "πλανῴμενοι" τῇ γνώμῃ–καὶ "ι να ἡ παρ θένος η ν ἁγία πνεύματι καὶ σώματι" τουτέστιν γνώμῃ καὶ πράξει.... λέγεται δὲ καὶ ἡ ψυχὴ "πνεῦμα" ὡς ἐν τῷ "ω σπερ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν". καὶ ὁ Στέφανος λέγων "κύριἐ Ιησοῦ, δέξαι τὸ πνεῦμά μου" περὶ τῆς ψυχῆς ẹαυτοῦ λέγει καὶ τῆς λογικῆς οὐσίας. 2,11e καὶ οὐκ ευστιν περισσεία ὑπὸ τὸν η λιον. τοῦτο λέγει ο τι τὰ "ὑπὸ τὸν η λιον" ὑπάρχοντα οὐδὲν πλέον ποιεῖ τοῖς σπουδάζουσιν. ὁ σπουδάζων ευχειν τὰ ὑπερ κόσμια καὶ τὰ ὑπερουράνια καὶ τὰ ὑπὲρ "τὸν η λιον" ευχει τινὰ "περισσείαν" καὶ πλέον τι τῶν αυλλων. οἱ δὲ σπουδά ζοντες ευχειν τὰ "ὑπὸ τὸν η λιον" οὐδὲν πλέον ευχουσιν. ἐπερ· τὸ ου ν "αυνω", τίς "περισσεία" τῷ "ἀνθρώπῳ"; 46 ταὐτὸν······ ·····, ἐπεὶ οὐδεμίạ "περισσεία" ἐστίν. τί "περιττὸν" ευχει ὁ "αυνθρωπος" "ὑπὸ τὸν η λιον" ζῶν; "ἐγὼ η λθον", λέγει ὁ σωτήρ, "ινα ζωὴν ευχωσιν καὶ περισ σὸν ευχωσιν". ἡ ἐπιδημία τοῦ σωτῆρος κατεσκεύασεν "ζωήν" τινα ἐν τοῖς "ἀνθρώποις". εἰ "ζωὴ" ε πεται τί "περιττόν"; τὸ ἀθάνατον τὸ ἀνάγον εἰς "βασιλείαν οὐρανῶν". οὐδεμία δὲ "περισσεία" ἐστὶν τοῖς σπουδαζομένοις "ὑπὸ τὸν η λιον". μὴ γὰρ ὁ πλούσιος, η "αυνθρωπός" ἐστιν, πλέον ευχει τῶν αυλ λων "ἀνθρώπων". ẹπερ· τὴν ἀναγωγήν· "καὶ ἐπέβλεψα ἐγὼ ἐν τοῖς ποιή μασιν" καὶ "οὐκ ευστιν περισσεία ὑπὸ τὸν η λιοṿ"; τοῦτο δυνάμεθα εἰπεῖν ο τι "φωτιζόμενος" ὑπὸ τοῦ "ἡλίου τῆς δικαιοσύνης" οὐχ "ὑπ'" αὐτόν ἐστιν, ἀλλ' "ἐν" αὐτῷ. "ἐκλάμψουσιν" γάρ, φησίν, "οἱ δίκαιοι ὡς ὁ η λιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν", οὐχ "ὑπὸ τὸν η λιον". ἐάν τις λέγων ἑαυτὸν χριστιανὸν ει ναι καὶ "πεφωτισμένον" ὑπὸ τοῦ "φωτὸς τοῦ ἀληθινοῦ", τοῦ "ἡλίου τῆς δικαιοσύνης", τὰ "ἀνθρώπινα" πράττῃ καὶ σπουδάζῃ ταῦτα, ω ς ἐσμεν νῦν οἱ πολλοί, ου τος "ὑπὸ τὸν η λιόν" ἐστιν. ου τως ω ν "ὑπὸ τὸν η λιον" οὐδὲν "περιττὸν" ευχει· κα ν μύρια λέγῃ ἀπὸ τῶν γραφῶν, μὴ πράττῃ δὲ καθ' αὐτά, οὐδὲν "περιττὸν" ευχει.

2,12ab καὶ ἐπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν καὶ περιφορὰν καὶ ἀφροσύνην. περιφορὰ δέ ἐστιν ἡ μὴ ευχουσα στάσιν, ἡ ω δε κἀκεῖ σε μεταβάλλουσα τὸν μετιόντα. "ἐγὼ" ου ν θεωρήσας "ευστηṿ". ἀλλ' ἡ "περίφορα" εσ····· ····· ·····ṭο ζῆν τῶν "ἀνθρώπων" καὶ ἡ "προαίρεσις" ···········ọṭ·ọ· "τοῦ ἰδεῖν σοφίαν καὶ ἀφροσύνην", ι να τῆς μὲν ἀπόσχωμαι, τῆς ḍὲ μεṭαποιήσωμαι. εἰ μὴ η ν "περιφορὰ" τουτέστιν "προαίρεσις" ω δε κἀκεῖσε αυγουσα, περịσσόν τị ηṿ τὸ "γνῶναι" "σοφίαν καὶ ἀφροσύνην". ἐπειδὴ δὲ ευστιν "γνόντα τὴν ἀφροσύνην" καὶ τὸ ἐπιβλαβὲς αὐτῆς καὶ τὸ ἀνόσιον καταλιπεῖν αὐτήν, καὶ "γιγνώσκεται ἡ σοφία". τῶν γὰρ ἐναντίων ἡ αὐτή ἐστιν ἐπιστήμη. ἡ δὲ "ἐπίγνωσις" τῶṿ ἐναντίων "περιφέρει" ω δε κἀκεῖσε· μεταδιώκεται γὰρ ὁτὲ μὲν ἐπαινετῶς ọτὲ δὲ ψεκ τῶς. 2,12c ο τι τίς ὁ αυνθρωπος, ο ς ἐπ-ελεύσεται ὀπίσω τῆς βουλῆς; ηṭοι τὸ σπάνιον σημαίνει η τὸ μὴ ὑπάρχον· πολλάκις γὰρ τὸ μὴ ὑπάρχον ṭὸ "τίς" σημαίνει. ο ταν λέγῃ "τίς ἐν-καλέσει κατὰ ἐκλεκτῶν θεοῦ;" ἀντὶ τοῦ οὐδείς. "τί ου ν ἐροῦμεν; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;" ἀντὶ τοῦ οὐδείς. ο ταν δὲ λέγῃ "τίς σοφὸς καὶ συνήσει ταῦτα;" καὶ "τίς αυρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος;", τὸ σπάνιον καὶ δυσεύρετον σημαίνει. ευστιṿ δὲ ὁτὲ καὶ τὸ ἀδύνατον 47 σημαίνει, ὡς ἐὰν λέγῃ "ὁ θεός, τίς ὁμοιωθήσεταί σοι;". σημαίνει δὲ καὶ τὸν λεγόμενον αυτομον, τὸν ἰδικῶς ποιόν, ὡς ἐὰν λέγῃ "αυνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, λαβεῖν ἑαυτῷ βασιλείαν", τὸ "τις" ω δε τὸν αυτομον σημαίνει. ἐνίοτε δὲ καὶ πεῦσιν δηλοῖ ὡς τὸ "τίς ἀναβήσεται εἰς τὸ ουρος τοῦ κυρίου;"



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ "κύριε, τίς παροικήσει ἐν σκηνώματί σου;". μεγάλου "ἀνθρώπου" ἐστὶν τὸ ἀκολυθεῖν τῇ "βουλῇ", τὸ "ὀπίσω" αὐτῆς βαδίζειν. ὁ γὰρ "ἀποστρεφόμενος" αὐτὴν καὶ "ῥίπτων τοὺς λόγους τοῦ θεοῦ εἰς τὰ ὀπίσω μισήσας παι-δείαν" οὐ πορεύεται "ὀπίσω τῆς βουλῆς". περὶ τοῦ τοιού-του λέγεται καὶ τῶν ὁμοίων αὐτῷ· "διελογίσαντο βουλήν, η ν οὐ μὴ δύνωνται στῆσαι"· "οὐ δύνανται" τελειῶσαι αὐ-τήν. καὶ λαμβάνεις ἐπὶ ἱστορίας τοιαῦτα· "διελογίσατο" ὁ Φαραὼ καὶ οἱ συνφρονοῦντες αὐτῷ ἐλαττῶσαι καὶ ἀναιρῆσαι τὸ γένος τῶν῾Εβραίων, ο τε τὰ "αυρρενα" προσέταττεν "εἰς τὸν ποταμὸν ῥιπτεῖσθαι", καὶ "οὐκ ἠδυνήθη σταθῆναι" ἡ "βουλή". "διελογίσαντο" θάνατον κατὰ τοῦ ςωτῆρος οἱ ἐναντιούμενοι δαίμονές τε καὶ "αυνθρωποι" καὶ "οὐκ ἠδυνήθη στῆναι". ευδοξαν γὰρ καταλύειν αὐτοῦ τὴν διδασκα-λίαν καὶ τὴν προτροπὴν θανάτῳ αὐτὸν περιβαλόντες καὶ ἐ-νόμιζον τοῦτο "σταθῆναι". ἐπερ· ἐνταῦθα ου ν κατὰ τὸ σπάνιον; ·······ιν··· ου τως ο·ι ········ "αυνθρωπος" ὁ πορευόμενος "ὀπίσω ··········ς "αυλογα" κινῶν "ι π-ποι θηλυμανεῖς γίνονται" "οὐ" σὺν λόγῳ "τι πράττοντες". τὸ "αυλογον" δὲ οὐ "ζῷον" βουλευτικόν ἐστιν. διὰ τοῦτο οὐδὲ "προαίρεσίς" ἐστιν ἐν τοῖς "ἀλόγοις". "βουλὴ" γάρ τίς ἐστιν ἡ "προαίρεσις". ἡ "περιφορὰ" ου ν ἡ μετάβασις ἐκ τῆς "σοφίας" εἰς τὴν "ἀφροσύνην" καὶ ἐξ ἐκείνης εἰς ταύτην. ει πον γὰρ ο τι "προαίρεσιν" δηλοῖ. ἐπερ· "ἐπέβλεψα"; καταλλήλως λαμβάνομεν τῇ "σοφίᾳ" τὴν "ἀφροσύνην". σπου-δάζων τὴν "σοφίαν" ἐνταῦθα λέγει. ἀμφότερα "γιγνώσκοντες" τοῦ μὲν ἀπεχόμεθα, τὸ δὲ αἱρούμεθα. ἀδύνατον δέ ἐστιν "αυνθρωπον" τέλειον καθ······· ····· ω στε ἐκτὸς ει ναι καὶ "ἀφροσύνης" καὶ "σοφίας" καὶ σωφροσύνης. 2,12d.13a σὺν τὰ πάντα ἐποίησεν αὐ-τή· καὶ ει δον ἐγὼ ο τι ευστιν περισ-σεία τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην. ω δε μὴ συνκριτικῶς λάβῃς τὸ πλέον ευχειν οὐδὲ τὸ ὑπάρχον τῇ "σοφίᾳ" καὶ τῇ "ἀφροσύνῃ" οὐδὲ τὸ τῇ "ἀφροσύνῃ" καὶ τῇ "σοφίᾳ"· τὰ γὰρ συνκριτικὰ οὐκ ἀεὶ ὁμοίως λέγεται. ἐν γοῦν τῷ εὐαγγελίῳ ὁ᾿Ιωάννης λέγει· "ἠγάπησαν οἱ αυνθρωποι μᾶλλον τὸ σκότος η τὸ φῶς", δηλονότι λέ 48 γων κατὰ τὴν πρόχειρον ἀπόδοσιν ο τι ἀμφότερα "ἀγαπῶν-τες μᾶλλον τὸ σκότος η τὸ φῶς ἠγάπησαν". ἀλλ' ἡ ἐπιφορὰ τοῦ ῥητοῦ οὐκ ἐᾷ τοῦτο νοεῖν· ἐπήγαγεν γὰρ ο τι "πᾶς ὁ πο-νηρευόμενος μισεῖ τὸ φῶς". εἰ ου ν "μισεῖ τὸ φῶς", πῶς "μᾶλλον" αὐτοῦ τὸ "σκότος" τις "ἠγάπησεν"; τὸ ω δε ου ν οὐ συνκριτικόν ἐστιν, ἀλλὰ προκειμένων ἑκατέρων τὸ ε ν "ἠγά-πησεν", τὸ ε τερον δὲ ἀπεστράφη. ου τω ληπτέον καὶ τὸ "φιλ ήδονοι μᾶλλον η φιλόθεοι"· οὐχ ο τι καὶ τὴν ἡδονὴν φιλοῦσιν καὶ τὸν θεόν, μᾶλλον δὲ τὴν ἡδονήν, ἀλλὰ ταύτην ἐφίλησαν, οὐδαμῶς δὲ τὸν θεόν. τοιοῦτόν ἐστιν καὶ τὸ "ἠγάπησαν κακίαν ὑπὲρ ἀγαθοσύνην"· φαῦλός ἐστιν περὶ ου ταῦτα λέγεται· ου τος δέ ἐστιν ὁ διαβαλὼν τὸν Δαυὶδ τῷ Σαοὺλ Δωὴχ ὁ Σύρος 2,13b ὡς περισσεία τοῦ φωτὸς ὑπὲρ τὸ σκότος. μὴ γὰρ ο λως συνκρίνεται τὸ "σκότος" τῷ "φωτί"· πλέον τι τοῦ "σκότους" ευχει, φθαρτικόν ἐστιν τοῦ "σκότους", ευνθα, ἐὰν ἐπιβῇ τὸ "φῶς", ἀφανίζεται τὸ "σκότος". ευχει ου ν σύν-κρισιν ο μως, ἐπειδὴ διὰ παραδειγμάτων δείκνυται καὶ τὰ ὁμώνυμα ἐκ τῶν προσπαραλαμβανομένων σαφηνίζεται. ἐπεὶ τὸ τόδε "ὑπὲρ" τόδε καὶ συνκριτικῶς λαμβάνεται, οταν ἀμφότερα ευχωσιν εν καὶ τὸ αὐτὸ, ἀλλὰ τὸ ετερον πλειόνως, καὶ ο ταν τὸ μὲν ευχῃ τὸ δὲ μὴ ευχῃ, διὰ τοῦτο τὸ παράδειγ μα δείκνυσιν ο τι ὡς τὸ "φῶς" περισσότερον ευχει, εἰ λαμβάνεται συνκριτικῶς, ου τως ἡ "σοφία" τῆς "ἀφροσύνης" πλέον τι ευχει. ευστι γὰρ "φῶς" μὲν ἡ "σοφία", "σκότος" δὲ ἡ "ἀφροσύνη".



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2,14a τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ. εἰρηκὼς "σοφὸν" ει ναι τὸν αυ̣νω πρ······γ̣ε·κο̣τα καὶ πάντα πράττοντα κατὰ "σοφίαν", "αυ̣φρονα" δὲ τὸν ἀντικείμενον καὶ ἐναντιούμενον, ινα μή τις ἐπὶ ῥητοῦ ταῦτα λάβῃ, χωρεῖ εἰς τὸν "ευ̣σω αυ̣νθρωπον" καὶ λέγει ο τι "τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ" εἰσιν. ἐὰν ἐπὶ τῶν αἰσθητῶν "ὀφθαλμῶν" λάβωμεν, ἐν τῷ αὐτῷ προσώπῳ ευ̣χει καὶ ὁ "αφρων" καὶ ὁ "σοφὸς" τοὺς "ὀφθαλμούς". ὁ δὲ "σοφὸς" ουν, η̣ "σοφός" ἐστιν, αυ̣νω νένευκεν πρὸς τὸν Χριστόν, τὴν "κεφαλὴν" αὐτοῦ· "ἡ κεφαλὴ" γὰρ "παντὸς ἀνδρὸς ὁ Χριστός ἐστιν". ἡ δὲ "κεφαλὴ" ουν τοῦ "σοφοῦ" ὁ νοῦς ἐστιν, ω στε λέγειν· "ἡμεῖς δὲ νοῦν Χριστοῦ ευ̣χομεν". ἐκ ταύτης τῆς "κεφαλῆς" ···εχε·······, ἐφ' η "μνήμη" γίνεται. ἐπερ· τοὺς "ὀφθαλμοὺς ἐν κεφαλῇ αὐτοῦ" τὴν ἐκκλησίαν ··· ευ̣στιν λέγειν ω στε πάντας νοεῖν; διὰ τοῦτο ὁ "σοφός" ἐστιν ἐν τῇ "σοφίᾳ" ο τι ὁ παρονομαζόμενος ἀπ' αὐτῆς τῷ μετέχειν αὐτῆς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.